eul_wid: pmi-ae

*Μᾶρκος Κορνήλιος Φρόντων ὁ Ῥήτωρ* · Fronto the Rhetorician

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

12.174.(p1) ΦΡΟΝΤΩΝΟΣ Μέχρι τίνος πολεμεῖς μ᾽, ὦ φίλτατε Κῦρε; τί ποιεῖς; τὸν σὸν Καμβύσην οὐκ ἐλεεῖς; λέγε μοι. μὴ γίνου Μῆδος· Σάκας γὰρ ἔσῃ μετὰ μικρόν, καί σε ποιήσουσιν αἱ τρίχες Ἀστυάγην.

12.233.(p1) ΦΡΟΝΤΩΝΟΣ Τὴν ἀκμὴν „Θησαυρὸν“ ἔχειν, κωμῳδέ, νομίζεις οὐκ εἰδὼς αὐτὴν „Φάσματοσ“ ὀξυτέρην. ποιήσει ς᾽ ὁ χρόνος „Μισούμενον“, εἶτα „Γεωργόν“, καὶ τότε μαστεύσεις τὴν „Περικειρομένην“.